αὐτῇ θέντες ὄνομα· καὶ τὸν ἐπὶ τούτῳ ἱερεσυνικὸν θεωρικὴν ἀρχὴν ἔλεγον ἀρχεῖν. Ἀπὸ τούτου
δὲ καὶ τὰ λοιπὰ ὅσοι Ἀθηναῖοι ἐλάμβανον θεωρικὰ ἔδοσαν. Θεωρικὰ χρήματα τινὰ ἦν ἐν
κοινῷ ἀπὸ τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον εἰς τὰς τοῦ πολέμου χρείας ἐφυ=
λάττετο, καὶ ἐκαλεῖτο στρατιωτικά. Ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς
καὶ διανομὰς τῶν πολιτῶν. Ἦν δὲ τὸ μὲν πρότερον νομιζόμενον δραχμὴ τῆς θεᾶς ὅθεν καὶ θε=
ωρικὰ ἐκλήθη. Φίλιππος δὲ ἔφη ὅτι διὰ τοῦτο ἐκλήθη θεωρικά διότι τῶν διονυσίων ὑπο=
γίνεται ὄντων, διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν γραπάντες ἰσοτάξιοι καὶ μηδεὶς ἀπολείπεται
οἱ ἐπόμενοι ἀνελωμάτων. Ἄλλοτε δὲ ἄλλως ὡρίζετο τὸ διδόμενον εἰς τὰς θέας καὶ τὰς θυσίας
καὶ τὰς ἑορτάς, ἐκ ἐξῶν δὲ τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν. Ἦν δὲ καὶ ἀρχή τις ἐπὶ τοῦ
θεωρικοῦ, ὡς Ἱππίας ἐν τῷ κατὰ Κτησιφῶντος δηλοῖ. Θεωρίς. Δημοσθένης ἐν τῷ κατὰ
Ἀριστογείτονος. εἰ γνήσιος μάντις ἦν ἡ θεωρὶς καὶ ἀσεβείας κρίθεν ἀπέθανον. Θεωροί. οἱ εἰς
θεὰς (θυσίαν ς.) πεμπόμενοι φύλακες τῶν θυσιῶν καὶ χρησίμων. Θεωροὶ μέντοι λέ=
γονται ἐκεῖνοι οἱ θεαταί, ἀλλὰ καὶ οἱ εἰς θέας πεμπόμενοι, καὶ ὅλως τοὺς τὰ θεῖα φυλάττον=
τας, ἢ τὸ θεῖον φορτίζοντας οὕτως ὀνομάζον. ὥρην γὰρ ἔλεγον τὴν φορτίδα. Θεῶν
ἀγορὰ ἐπὶ τῶν τολμώντων τι λέγειν ἐν τοῖς ὑπερέχουσι. Θήγοντες ἀκονῶντες. Θηλά=
ξειν. τὸ τρέφειν τὸ γάλακτι, οἱ ἀρχαῖοι πάντες, ὅτως μάλιστα οἱ Ἴωνες (Θηλασίαν ἦν
θηλάσεται τοῦ ἰδίου ὅτως Κρατῖνος) Θηλή. μαστὸς ὁ γαλακτῶν. Θηλυδρίας, τεθηλυμένος
θήλυνος, ἥσυχος. Θημαχώς, δῆμος ἐστὶ φυλῆς τῆς Ἐρεχθηίδος ὁ Θημακός. Θημωνίς οἱ
σωροὶ τῶν σταφυλῶν. Θησαυρίζειν, ἀναβάλλεσθαι. Θησαυρός, ὅτως ἀνῃρέθη κατηφο=
ράσαντος αὐτὸν Κριτίου ἐπὶ τῶν λ' τυραννῶν. Θηρᾶτορας κυνηγός. (Θηρᾶτρον ποικίλον ἱ=
μάτιον. Θησικλέους τέκνον κύλιξ οὗ λέγεται πρῶτος κεραμεῦσαι Θησικλῆς. Θηρίκλειον
ποτήριον ἐξένον. Θηρῶντες ἐπιτηρῶντες. Θῆσαι, μιαρωτικὴν ἢ ἐντελῆ ἢ δεινὴν τρο=
φήν. Θῆσα ἢ νεηνιχὰ ἀπολειφθεῖσα ὑπὸ τῶν γονέων καὶ ἐπιδικαζομένη γάμος ἀρχιτέ=
κτων. Θησεῖον τὸ Θησέως ἡρῷον ὁ τοῖς ὀκέταις ἄσυλον ἦν ἐλέγετο δὲ δίκας καὶ ἐν=
ταῦθα. Θεσεῖον τέμενος ἐστὶν ἀνειμένον τῷ Θησεῖ. Θήσομαι ὁσιόω· ποιήσω, ἀνατίθε=
μαι ἢ δεῖται. Θῆτες οἱ ἕνεκα τροφῆς δουλεύοντες. Θητεύειν καὶ θητικόν, ἐξ τέσσαρα διαιρεθέντα
παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι θῆτες ἐλέγοντο καὶ θητικὸν τελεῖν. Ὅτου δὲ μισθωτοῦ μετεῖ=
χον ἀρχῆς, οὐδὲ ἐστρατεύοντο. Καὶ θῆσαν δὲ ὠνόμαζον οἱ Ἀττικοὶ τὴν περιχαρῆ κόρην ἣν ἐπάνοδον
τοῦ ἔτους ἄγουσι, ἢ λαμβάνειν πρὸς γάμους ἢ πέντε μνᾶς διδόναι. Θητεύειν μιαρῶ ἐργάζεσθαι. Θίασος
τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέλει καὶ τιμῇ θεᾷ. ὅτως Δημοσθένης καὶ Ξενοφῶν· ἦσαν δὲ ἐπὶ
πάντων ἀθροίσματος τάττειν τὸ νόμιμα. Θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων. ὅτως
Ἰσαῖος. Θίβη κιβώτιον ἐκ βύβλου πλεκτόν, ὡς κοφινῶδες. (Θιβῶνον νόμισμα ἐλθὸν ἀπὸ Θίβρω=
νος τοῦ χαλκέως ἐστῶσαι.) Θίγειν. φαῦσαι, ἐγγίσαι. Θιγγάνειν, ἅπτεσθαι. Θιμβρῶν Λακεδαιμόνιος, ὅτου
ἦν περιφανὴς ἡ τῶν ἀστῶν ἄρχος· οἱ μετὰ τὰ πελοποννησιακὰ. Θῖνα, ἀφιλόν σωρόν. Θλαδίας, Εὐνοῦ=
χος. Θλίβειν, ἐκπιέζειν. Θοαί, ταχεῖαι, ὀξεῖαι. Θοηρός, τελεσθείς. Θοιμάτιον, τὸ ἱμάτιον. Θοι=
νῶνος. Πρυτανεῖον δὲ ὠνόμαζον, ἐπεὶ πυρὸς ἦν ταμιεῖον. Θόλος τόπος ἐν τοῖς ἀρχαίοις. Θολο=
ειδής, ὀσφὺς ἔχων ἐξ οἰκοδομῆς, ἀλλ' ὀχὶ ξυλίνης. (λέγεται δὲ καὶ θολοκοῖ, ἢ θόλος. Θολερός προσβαίνοις μὴ κατεσκευάσθαι καὶ ἀσφαλῆ πορείαν
ἔχον, ἀλλὰ ἀτάκτοις καὶ τεταραγμένοις πρόσιον. Θορή. Δῆμος Ἀντιοχίδος. (θεῖ κατάθεν)
Θορεῖ, τὸ σπέρμα τοῦ σώματος. (Θορεῖν πηδᾶν, θεῖν πηδητικὸν ταχύ· πολεμικώτατον
(Θεσσαλοὶ ἄντες, τοὺς περὶ Λάμπωνα· τὴν γὰρ εἰς σύνοικιν ἀποικίαν ὁ μὲν Λάμπων ἀνατίθε=
σαν οἱ δὲ Ξενοκρίτῳ, οἱ δὲ τῷ Χαλκιδεῖ Διονυσίῳ, οἱ δὲ Καθαρσίῳ τῷ Λάκωνι, οἱ δὲ Πλησίπε=
ρῳ Ἀθηναίῳ) Θρᾶκες ὅρκια ἐκ ἐπίσαντο, τούτοις μιαρῶν μεμνήσθαι ἐν τῇ πρώτῃ. Λέγει
γὰρ ὅτι ἐν αὐτῇ τῇ γῇ ὁ πρεσβύτατος ἀκοντισθεὶς διὰ τοῦ σώματος ἀπώλετο· καὶ ἐντεῦθεν ἴωσι
καὶ Ἀκοντίου ἀνίσημα ἔφετο. Θρᾶκες ὅρκια ἐκ ἐπίσαντο. Θράκος ὑποπόδιον (καὶ θρανί=
διον λέγεται). (Θρανίς, δίφρος. Θάτθειν παράσσειν· ἐποχεῖν. νύσσειν, δυσωπεῖσθαι καὶ ὑφω=
ράζειν. (Θραύσμαι, συντρίβομαι, συγκόπτομαι. Θραυστρίδες, κόπτοι θραύστων. Θραύεται,
κλᾶται. Θραύματα, νευροσπάσματα) Θρεῦσις φθορά, ἥττα ἐν πολέμῳ· θάνατος, ἀρρωστία τοῦ
θρεύσας, πτῶσις. Θρηνοῦμεν θρόοιμεν· ὑμνοῦμεν θεὸν θρῆνος ἐπιφόδοξος. Θρία τὰ φύλλα τῆς
συκῆς. Θρίαι, αἱ μαντικαὶ θῆφαι. Θριαμβεύσας, δημοσιεύσας. (Θριάμβος, τὸν ἴαμβον ἔνιοι ἔλε=
γον) Θρίαμβος, ἐπίδειξις νίκης, πομπή, καὶ τὸ σεμνύνεσθαι· (Θρίασια πύλαι οὕτως καλοῦνται) Θριά=
σιον, πεδίον. Θρίγκος, τὸ περίφραγμα, τεφάνη μικρὸν τεῖχος περίβολος· (Θριδακίνας, εἶδος μάζης.
Θρίναξ ὄρνεον θεωρικὸν ὀρτικὸν. Θρίπηδεκτα τὰ ξύλα τὰ ὑπὸ θριπῶν διαβεβρωμένα οἷς ἀντι
θρασίδων ἐχρῶντο. Θριφδεσσα Ὑπερίδης τὴν Ἑλλάδα εἶπεν ἀντὶ τοῦ διεφθαρμένην ἀπὸ τῶν ὑπὸ θριπῶν
κατεδεδεσμένον ξύλων. Θρόνιον, πόλις ἐστὶ τῆς Λοκρίδος. Θρῦς. ἦχος, φωνὴ ἄσημος, λαλὰ θόρυβος.
Θριαλίς, ἐχάρα λύχνος, ἀκτὶς καὶ βοτάνη τινὶ λύχνον ἁρμόζουσα. Ἀριστοφάνης ἐν νεφέλαις. Θρυ=
αλίς, ἄνθος λυχνίδος, ἢ λύχνος τὸ περικαιόμενον τοῦ ἐλλυχνίου. Θρυλλεῖ, λαλεῖ κακά. Θρύλος
ψιθυρισμός, ὁμιλία μὴ φανερῶς φερομένη (Θρυμματίς, σκεύασμα διὰ τεκτόνων καὶ σεμνιδάλιον, καὶ συ=
καλλίδιον. Θρύπτεται, μαλακίζεται, ἢ ἐλακίζεται. Χαυνοῦται, ἢ ἀνακλᾶται. Θρώσκει πηδᾷ. Θρωσμός
Βοιωτοῖς τόπος ἀφ' οὗ ἐπικαταβαίνοντα θορεῖν, ὅ ἐστι θεάσασθαι. Θυγατρίδιον ἐστόν τῆς θυγατρὸς θυ=
γατρὸς (θυγατρίζουσα θυγατρίζα καλοῦσι) Θύειν τὸ ὁρᾶν, καὶ τὸ θυμιᾶν. Θύελλα ὀξεῖα ἀνεμος
(Θύηλα, αἱ διὰ τῶν θυσιῶν μαντεῖαι) Θυηπόλος ὁ θύων ἱερεύς. Θυηπολοῦσι περιπολοῦσι διὰ θυσιῶν
ὑπερχόμενοι θεοὺς ἐξιλάσκεσθαι (Θυηκόοι, οἱ ἱερεῖς, οἱ ὑπὲρ τῶν ἄλλων θύοντες τοῖς θεοῖς. Θυηκετάσθαι
δῆμος, ἱπποθοωντίδος. Θύλακοι, ὁ ῥαπτὸς φάσκωλος. Θυλακοφόροι, οἱ μεταλλεύοντες, ὅτι θυλάκους
ἐφόρουν. Θυλήματα, πτύματα, ἀπαρχαί, ἄλφιτα, οἴνῳ καὶ ἐλαίῳ εἰς θυσίαν ἀναφέροντες. Θυμαλφέ=
α, λυπαρά (Θυμάλεω. Δῆμος τις ὅτος καλεῖται καὶ θυμάλωπες οἱ κεκαυμένοι ἐν θρᾴκῃ ἢ
ἡμίκαυτα ξύλα, ἢ σπινθῆρες. Θύματα, θυμιάματα (Θυμβροφάγος, ὀξυμύ.) Θυμελὸν τὸν βωμὸν